τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ᾿ ἠδικημένη,
οὔτ᾿ ὄμμ᾿ ἐπαίρουσ᾿ οὔτ᾿ ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ᾿ ἀποιμώζῃ φίλον
καὶ γαῖαν οἴκους θ᾿, οὓς προδοῦσ᾿ ἀφίκετο
μετ᾿ ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ᾿ ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ᾿ ὁρῶσ᾿ εὐφραίνεται.
δέδοικα δ᾿ αὐτὴν μή τι βουλεύσῃ νέον·
βαρεῖα γὰρ φρήν, οὐδ᾿ ἀνέξεται κακῶς
πάσχουσ᾿· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν.
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται.
ἀλλ᾿ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙ. παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ᾿ ἄγουσ᾿ ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

ΤΡ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ εἰς τοῦτ᾿ ἐκβέβηκ᾿ ἀλγηδόνος,
ὥσθ᾿ ἵμερός μ᾿ ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

---

μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾿ ἥπατος,
σιγῇ δόμους εἰσβᾶσ᾿, ἵν᾿ ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.

---

37. νέον] v. l. κακόν. 58. δεσποίνης] v. l. Μηδείας.